Ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ιέ.

Πι. Μᾶλλον εἰρήνην ἄγουσιν
Ἡμῖν. ὥστε τήνδε χύτραν
Τὴν τρυβλίῳ καθίει,
Καὶ τὸ δόρυ χρὴ τὸν ὀβελίσκον,
Περιπατεῖν ἔχοντας ἡμᾶς
Τῶν ὅπλων ἐντὸς, παρὰ τὴν χύ-
τραν ἄκραν αὐτὴν ὁρῶντας
Ἐγγύς. ὡς οὐ φευκτέον νῷν.
Ευ. Ἐτεὸν, ἢν δ' ἄρ' ἀποθάνωμεν,
Κατορυχθησόμεθα ποῦ γῆς;
Πι. Ὁ Κεραμεικὸς δέξεται νώ.
Δημοσίᾳ γὰρ ἵνα ταφῶμεν,
Φήσομεν πρὸς τοὺς στρατηγοὺς
Μαχομένω τοῖσι πολεμίοις,
Ἀποθανεῖν ἐν Ὀρνεαῖς.

Pi. Magis pacem ducunt
Nobis, quare ollam
Catino depone.
Et lanceam oportet veru
Deambulare habentes nos
Arma intra apud ol-
Lam extremam ipsam videntes
Prope, quòd non fugiendum nobis.
Ev. Verùm, si autem igitur morimur,
Defodiemur vbi terræ?
Pi. Ceramicus suscipiet nos.
Publicè enim vt sepeliamur,
Dicemus ad milites
Pugnantes inimicis
Mori in Orneis.

Σχόλια. Μᾶλλον εἰρήνην ἄγουσιν.] ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ὁμοίων τροχαϊκῶν ἐπιμεμιγμένων ἀναπαίστοις καὶ χορείοις πεντεκαίδεκα διμέτρων πλὴν τοῦ τελευταίου ἀκαταλήκτων, ὑφ' ὃ αἱ συνήθεις δύο διπλαῖ. Τὴν χύτραν.] ἔξωθεν τὴν συν. σὺν τῷ τρυβλίῳ. τῷ δὲ ὀβελίσκῳ ἐχρῶντο ἀντὶ δόρατος. καὶ τὸν ὀβελίσκον δέ φησιν ὅς τις ἐστὶν ἡμῶν δόρυ ἐντὸς τῶν ὅπλων χρὴ λοιπὸν ἔχειν. λέγει δὲ, ἀντὶ τοῦ τῶν χυτρῶν. ἔθος γὰρ εἶχον, ἔσω τῶν ἀσπίδων ἔχειν τὰ δόρατα. Καὶ τὸ δόρυ χρὴ τὸν ὀβελίσκον.] τὸν ὀβελίσκον ὅς τις ἐστὶν ἡμῖν δόρυ, χρὴ περιπατεῖν ἔχοντας ἐντός. Τῶν ὅπλων ἐντός.] κέχρηται τῇ λέξει ἀντὶ τῶν ἱματίων. ὡσανεὶ εἶπε. καὶ ἔχειν τὸ δόρυ παρὰ τὴν ἀσπίδα. οὕτω γὰρ ποιοῦσιν οἱ πολέμιοι. τοῦ μὴ ἔξω ὅπλων εἶναι, ἀλλὰ καθοπλίζεσθαι. Παρὰ τὴν χύτραν] τουτέστι δεῖ καὶ μὴ φοροῦντας ἐγγύθεν αὐτὴν ἔχειν. παραινεῖ οὖν μήτε παντάπασιν ἀμελεῖν, μήτε φανερῶς πολεμεῖν. Ὡς οὐ φευκτέον νῷν] ὡς οὔτε ἀπαρασκεύαστοι εἰσί. Κατορυχθησόμεθα] ἔπαιξεν εἰς τὴν χύτραν ἀντὶ τοῦ ἐνταῦθα ὀρυχθήσομαι. ἐπεὶ οἱ ἐν τῷ πολέμῳ ἀναιρούμενοι ἐν τῷ Κεραμεικῷ ἐθάπτοντο. Ὁ κεραμεικὸς δέξεται.] οἱ ἐν τῷ πολέμῳ ἀναιρούμενοι ἐν τῷ Κεραμεικῷ ἐθάπτοντο. ὡς Μενεκλῆς καὶ Καλλίστρατος ἐν τοῖς περὶ Ἀθηνῶν συγγράμμασί φασι. καλεῖται δὲ καὶ ὁ τόπος οὗτος Κεραμεικός. ἔστι γὰρ ὁ αὐτὸς δῆμος. βαδίζουσι δὲ ἔνθεν καὶ ἐντεῦθεν εἰσὶ στῆλαι ἐπὶ τοῖς δημοσίᾳ τεθαμμένοις. εἰσὶ δὲ οὗτοι ὑπὸ τοῦ δήμου πεμφθέντες οἳ ἐν αὐτῇ τῇ χώρᾳ ὑπὲρ τῆς πόλεως τετελευτήκασιν. ἔχουσι δὲ καὶ αἱ στῆλαι ἐπιγραφὰς ποῦ ἕκαστος ἀπέθανεν. Ὀρνεαῖς] παρὰ τὰ Ὄρνεα ἔπαιξεν. ἔστι δέ τις ἐν Ἄργει Ἰὰς πόλις. ἧς Ὅμηρος μνημονεύει Ὀρνειὰς ἐνέμοντο. ἴσως δὲ, ὅτι ἐν Ὀρνεαῖς μάχη ἐγένετο Λακεδαιμονίων καὶ Ἀργείων. γελοῖον δὲ τὸ φήσομεν ἀποθανεῖν.

ΣΤΡΟΦΗ κώλων ζ'.

VERSIO MEMBRORUM septem.

Χο. Ἄναγ' ἐς τάξιν πάλιν ἐς ταυτὸν.
Καὶ τὸν θυμὸν κατάθου κύψας
Παρὰ τὴν ὀργὴν ὥσπερ ὁπλίτης.
Κἀναπυθώμεθα τούσδε τίνες ποτὲ,
Καὶ πόθεν ἔμολον.
Ἐπὶ τίνα τ' ἐπίνοιαν.
Ἰὼ ἔποψ, σέ τοι καλῶ.

Cho. Reduc in ordinem iterum in idem,
Et animum depone, inclinans
Apud iram sicut armatus.
Et reinterrogemus hos qui vnquam,
Et vnde venerunt.
In quam sententiam,
Heus epops te voco.

Σχόλια. Ἀνάγ' ἐς τάξιν.] εἴσθεσις μέλους χοροῦ ἐπῳδικὴ μὲν, διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι, προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας περιόδου κώλων ἀναπαιστικῶν ζ. ὧν τὰ μὲν τέσσαρα δίμετρα ἀκατάληκτα. τὸ ε' ἀναπαιστικὴ βάσις, τὸ ς' ἑφθημιμερές. ἐν ἐκθέσει δὲ κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον ὅμοιον τοῖς ἑξῆς. ὑφ' ὃ κορωνίς. Καὶ τὸν θυμὸν κατάθου] ὡσεὶ ὁπλίτῃ ἐγκελεύων τὸ δόρυ καταθέσθαι παρὰ τὴν ἀσπίδα. Παρὰ τὴν ὀργήν.] παρὰ τὸ Ὁμηρικὸν ἀσπίσι κεκλιμένοι. παρὰ δ' ἔγχεα μακρὰ πέπηγεν. οἷον ὅπλα μὴ ἔχων, θυμῷ πολέμει μόνῳ.

Εἴσθεσις περιόδου ἀμοιβαίας ἐκ κώλων κζ.

Επ. Καλεῖς δὲ τοῦ κλύειν θέλων;
Χο. Τίνες ποθ' οἵδε, καὶ πόθεν;

Ep. Vocas autem, quid audire volens?
CH. Qui vnquam hi, & vnde?

Σχόλια.